BA ἑκατὸν εἴκοσι ἑπτὰ ἐν Ἐκβατάνοις τῆς Μηδίας. [15]καὶ ἤκουσεν 15
πρὶν ἢ ἀποθανεῖν αὐτὸν τὴν ἀπώλειαν Νινευη, ἣν ᾐχμαλώτισεν
Ναβουχοδονοσορ καὶ Ασυηρος· ἐχάρη πρὸ τοῦ ἀποθανεῖν ἐπὶ Νινευη.

14 εικοσι > B† || 15 ηχμαλωτισεν B†] -τευσεν rel. | ασυηρος B†] ασουηρος A | εχαρη B†] pr. και rel. | fin.] + αμην B: cf. Idt. 16 25

Subscr. τωβειτ BA

---

S ἑκατὸν δέκα ἑπτὰ ἐνδόξως. [15]καὶ εἶδεν καὶ ἤκουσεν πρὸ τοῦ ἀπο- 15
θανεῖν αὐτὸν τὴν ἀπώλειαν Νινευη καὶ εἶδεν τὴν αἰχμαλωσίαν
αὐτῆς ἀγομένην εἰς Μηδίαν, ἣν ᾐχμαλώτισεν Αχιαχαρος ὁ βασι-
λεὺς τῆς Μηδίας, καὶ εὐλόγησεν τὸν θεὸν ἐν πᾶσιν, οἷς ἐποί-
ησεν ἐπὶ τοὺς υἱοὺς Νινευη καὶ Αθουριας· ἐχάρη πρὶν τοῦ ἀπο-
θανεῖν ἐπὶ Νινευη καὶ εὐλόγησεν κύριον τὸν θεὸν εἰς τοὺς αἰῶνας
τῶν αἰώνων.

15 αχιαχαρος] ασυηρος Fr. | αθουρ(ε)ιας] ασυερος (sic) Sc | fin.] + αμην S: cf. B

Subscr. τωβειθ S

## ΜΑΚΚΑΒΑΙΩΝ Α΄

[1]Καὶ ἐγένετο μετὰ τὸ πατάξαι Ἀλέξανδρον τὸν Φιλίππου Μακε- 1
δόνα, ὃς ἐξῆλθεν ἐκ γῆς Χεττιιμ, καὶ ἐπάταξεν τὸν Δαρεῖον βασιλέα
Περσῶν καὶ Μήδων καὶ ἐβασίλευσεν ἀντ᾽ αὐτοῦ, πρότερον ἐπὶ τὴν
Ἑλλάδα. [2]καὶ συνεστήσατο πολέμους πολλοὺς καὶ ἐκράτησεν ὀχυ- 2
ρωμάτων καὶ ἔσφαξεν βασιλεῖς τῆς γῆς· [3]καὶ διῆλθεν ἕως ἄκρων 3
τῆς γῆς καὶ ἔλαβεν σκῦλα πλήθους ἐθνῶν. καὶ ἡσύχασεν ἡ γῆ
ἐνώπιον αὐτοῦ, καὶ ὑψώθη, καὶ ἐπήρθη ἡ καρδία αὐτοῦ. [4]καὶ συν- 4
ῆξεν δύναμιν ἰσχυρὰν σφόδρα καὶ ἦρξεν χωρῶν ἐθνῶν καὶ τυράν-
νων, καὶ ἐγένοντο αὐτῷ εἰς φόρον. [5]καὶ μετὰ ταῦτα ἔπεσεν ἐπὶ 5

Mac. I: SA; codicem antiquissimum S sequor mendis permultis correctis. — *L* = (19) 64 (93) 236. — La = Les anciennes traductions latines des Machabées ed. De Bruyne (Anecdota Maredsolana vol. IV, Maredsous 1932); eas lectiones adferre soleo, quae antiquissimae uidentur, uariantibus lectionibus neglectis. — Fr. = Libri apocryphi V. T. graece ed. Fritzsche (Lips. 1871).

Inscr. μακκαβαιων α΄ BA: cf. subscr.

1 1 μακεδονα S(-καιδ-)V†] pr. τον rel. | εκ γης Sc*L*] εις γην S*†, εκ της γης A || 2 της γης > A || 3 και υψωθη — fin.] post 4 τυραννων tr. S†, ambis locis hab. V† || 4 εθνων] pr. και A | τυραννιων A | εγενετο S† | φορον] φοβερον S†